# ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β΄

*Greeting*

1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ* διὰ
θελήματος Θεοῦ, κατ᾽ ἐπαγγελίαν ζωῆς τῆς
ἐν Χριστῷ Ἰησοῦ, 2 Τιμοθέῳ, ἀγαπητῷ τέκνῳ·
Χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ
Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

## Paul addresses Timothy's spiritual crisis

*Paul encourages Timothy*

3 Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων
ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω
τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσίν μου,
νυκτὸς καὶ ἡμέρας, 4 ἐπιποθῶν σε ἰδεῖν
(μεμνημένος σου τῶν δακρύων), ἵνα χαρᾶς
πληρωθῶ·† 5 ὑπόμνησιν λαμβάνων‡ τῆς ἐν σοὶ
ἀνυποκρίτου πίστεως—ἥτις ἐνῴκησεν πρῶτον
ἐν τῇ μάμμῃ σου Λωΐδι§ καὶ τῇ μητρί σου
Εὐνείκῃ,* πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. 6 Δι᾽
ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ
χάρισμα τοῦ Θεοῦ ὅ ἐστιν ἐν σοὶ διὰ τῆς

---

* **1:1** ιησου χριστου **f**[35] A [60%] RP,TR ¦ 21 ℵ [40%] HF,OC,NU ¦ — CP[?] † **1:4** πληρωθω **f**[35] ℵA,C [90%] RP,HF,OC,TR,NU ¦ πλησθω [10%] CP ‡ **1:5** λαμβανων **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ λαβων ℵA,C [4%] NU § **1:5** λωιδι *rell* ¦ λοιδι [3%] ¦ λωιδη [2%] CP * **1:5** ευνεικη **f**[35] [50%] TR ¦ ευνικη ℵA,C [45%] RP,HF,OC,CP,NU ¦ ευνηκη [5%]

ἐπιθέσεως τῶν χειρῶν μου. 7 Οὐ γὰρ ἔδωκεν
ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως
καὶ ἀγάπης καὶ σωφρονισμοῦ.

### *Don’t be ashamed to suffer for Christ*

8 Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ
Κυρίου ἡμῶν μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ,
ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ
δύναμιν Θεοῦ 9 —τοῦ σώσαντος ἡμᾶς καὶ
καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα
ἡμῶν ἀλλὰ κατ’† ἰδίαν πρόθεσιν καὶ χάριν,
τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ
χρόνων αἰωνίων, 10 φανερωθεῖσαν δὲ νῦν διὰ
τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν, Ἰησοῦ
Χριστοῦ,‡ καταργήσαντος μὲν τὸν θάνατον,
φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ
εὐαγγελίου· 11 εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ
ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν.§ 12 Δι’
ἣν αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ’ οὐκ
ἐπαισχύνομαι, οἶδα γὰρ ᾧ πεπίστευκα καὶ
πέπεισμαι ὅτι δυνατός ἐστιν τὴν παραθήκην*
μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν.

### *Be loyal—the example of Onesiphorus*

13 Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων
ὧν παρ’ ἐμοῦ ἤκουσας, ἐν πίστει καὶ

---

† **1:9** κατ **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ κατα ℵA,C [5%] NU ‡ **1:10** ιησου χριστου **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ 21 ℵA [3%] NU § **1:11** εθνων **f**[35] C (99%) RP,HF,OC,TR,CP ¦ — ℵA,I (1%) NU (It is improbable that NU could be correct here; even the Coptic abandons them.) * **1:12** παραθηκην **f**[35] ℵA,C [85%] RP,HF,OC,TR,NU ¦ παρακαταθηκην [15%] CP

ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ. 14 Τὴν καλὴν
παραθήκην† φύλαξον διὰ Πνεύματος Ἁγίου
τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.

15 Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες
οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστιν Φύγελλος‡ καὶ
Ἑρμογένης. 16 Δῴη ἔλεος ὁ Κύριος τῷ
Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξεν
καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη·§ 17 ἀλλὰ
γενόμενος ἐν Ῥώμῃ σπουδαιότερον* ἐζήτησέν
με καὶ εὗρεν 18 (δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν
ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ)·
καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησεν βέλτιον σὺ
γινώσκεις.

# 2

*Be strengthened*

1 Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι
τῇ ἐν Χριστῷ Ἰησοῦ. 2 Καί, ἃ ἤκουσας παρ᾽
ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου
πιστοῖς ἀνθρώποις οἵτινες ἱκανοὶ ἔσονται καὶ
ἑτέρους διδάξαι.

---

† **1:14** παραθηκην **f**[35] אA,C [90%] RP,HF,OC,CP,NU ¦ παρακαταθηκην [10%] TR ‡ **1:15** φυγελλος **f**[35] A [60%] OC,TR ¦ φυγελος אC [35%] RP,HF,CP,NU ¦ φρυγελλος [5%] § **1:16** επησχυνθη **f**[35] א [50%] TR ¦ επαισχυνθη A,C [49%] RP,HF,OC,CP,NU ¦ καταισχυνθη [1%] (Apparently we have alternate forms of the aorist passive indicative, so the meaning is the same.) * **1:17** σπουδαιοτερον **f**[35] (94.3%) RP,HF,OC,TR,CP ¦ σπουδαιοτερως A (1.7%) ¦ σπουδαιως א(C) (3.8%) NU ¦ one other variant (0.2%)

3 Σὺ οὖν κακοπάθησον* ὡς καλὸς
στρατιώτης Ἰησοῦ Χριστοῦ.† 4 Οὐδεὶς
στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου
πραγματείαις,‡ ἵνα τῷ στρατολογήσαντι
ἀρέσῃ. 5 Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται
ἐὰν μὴ νομίμως ἀθλήσῃ 6 —τὸν κοπιῶντα
γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.
7 Νόει ἃ § λέγω· δῴη* γάρ σοι ὁ Κύριος σύνεσιν
ἐν πᾶσιν.

### *Encouragement by example*

8 Μνημόνευε Ἰησοῦν Χριστόν, ἐγηγερμένον
ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυίδ· κατὰ τὸ
εὐαγγέλιόν μου, 9 ἐν ᾧ κακοπαθῶ μέχρι
δεσμῶν ὡς κακοῦργος, ἀλλ'† ὁ λόγος
τοῦ Θεοῦ οὐ δέδεται. 10 Διὰ τοῦτο πάντα
ὑπομένω· διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ
σωτηρίας τύχωσιν τῆς ἐν Χριστῷ Ἰησοῦ,
μετὰ δόξης αἰωνίου. 11 Πιστὸς ὁ λόγος·
Εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν·
12 εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν·

---

* **2:3** συ ουν κακοπαθησον **f**35 (94.1%) RP,HF,OC,TR,CP ¦ συγκακοπαθησον ℵ(A,C)I (3.8%) NU ¦ conflation (1.6%) ¦ three other variants (0.5%) (The Alexandrians missed the point, creating an inferior reading. The joint suffering was handled in 1:8.) † **2:3** ιησου χριστου **f**35 [95%] RP,HF,OC,TR,CP ¦ 21 ℵA,C [5%] NU ‡ **2:4** πραγματειαις **f**35 [90%] RP,HF,OC,TR,CP,NU ¦ πραγματιαις ℵA,C [10%] § **2:7** α **f**35 [98%] RP,HF,OC,TR,CP ¦ ο ℵA,C [2%] NU * **2:7** δωη **f**35 [95%] RP,HF,OC,TR,CP ¦ δωσει ℵA,C [5%] NU (The immediately following γαρ presumably motivated the Alexandrian alteration.) † **2:9** αλλ *rell* ¦ αλλα ℵA,C [2%] NU

εἰ ἀρνούμεθα,‡ κἀκεῖνος ἀρνήσεται ἡμᾶς·
13 εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει—
ἀρνήσασθαι§ ἑαυτὸν οὐ δύναται.
14 Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος
ἐνώπιον τοῦ Κυρίου* μὴ λογομαχεῖν
εἰς† οὐδὲν χρήσιμον—ἐπὶ καταστροφῇ τῶν
ἀκουόντων.

*Approved and disapproved*

15 Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι
τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον,
ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. 16 Τὰς
δὲ βεβήλους κενοφωνίας περιΐστασο, ἐπὶ
πλεῖον γὰρ προκόψουσιν ἀσεβείας, 17 καὶ ὁ
λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει—ὧν
ἐστιν Ὑμέναιος καὶ Φιλητός, 18 οἵτινες περὶ
τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν‡
ἀνάστασιν ἤδη γεγονέναι· καὶ ἀνατρέπουσιν
τήν τινων πίστιν.
19 Ὁ μέντοι στερεὸς θεμέλιος τοῦ Θεοῦ
ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· «Ἔγνω
Κύριος τοὺς ὄντας αὐτοῦ,» καὶ ἀποστήτω ἀπὸ
ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου.§
20 Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη

---

‡ **2:12** αρνουμεθα **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ αρνησομεθα ℵA,C,048 [5%] NU (A little assimilation by attraction to the following future?) § **2:13** αρνησασθαι **f**[35] [85%] RP,HF,OC,TR,CP ¦ 1 γαρ ℵA[V],C,048[V] [15%] NU * **2:14** κυριου **f**[35] A,048 [87%] RP,HF,OC,TR,CP ¦ θεου ℵC,I [10%] NU ¦ χριστου [3%] † **2:14** εις **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ επ ℵA,C,I,048 [3%] NU ‡ **2:18** την **f**[35] A,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ — ℵ048 [2%] § **2:19** κυριου **f**[35] ℵA,C [90%] RP,HF,OC,CP,NU ¦ χριστου [10%] TR

χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ
ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς
ἀτιμίαν. 21 Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ
τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον
καὶ* εὔχρηστον τῷ Δεσπότῃ, εἰς πᾶν ἔργον
ἀγαθὸν ἡτοιμασμένον.

*The true source of opposition*

22 Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε· δίωκε
δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην, μετὰ
τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς
καρδίας. 23 Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους
ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσιν
μάχας. 24 Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι
ἀλλ᾽† ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν,
ἀνεξίκακον, 25 ἐν πρᾳότητι‡ παιδεύοντα τοὺς
ἀντιδιατιθεμένους, μήποτε δῷ§ αὐτοῖς ὁ Θεὸς
μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας 26 καὶ
ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος
(ἐζωγρημένοι ὑπ᾽ αὐτοῦ εἰς τὸ ἐκείνου
θέλημα).

# Paul addresses Timothy's future ministry

# 3

*What relativistic humanism produces*

---

* **2:21** και **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ — אA,048 [3%] NU
† **2:24** αλλ *rell* ¦ αλλα אA [2%] NU ‡ **2:25** πραοτητι **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ πραυτητι אA,C [5%] NU § **2:25** δω **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ δωη אA,C [3%] NU

1 Τοῦτο δὲ γίνωσκε· ὅτι ἐν ἐσχάταις ἡμέραις
ἐνστήσονται καιροὶ χαλεποί· 2 ἔσονται γὰρ οἱ*
ἄνθρωποι φίλαυτοι, φιλάργυροι,† ἀλαζόνες,
ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς,
ἀχάριστοι, ἀνόσιοι, 3 ἄστοργοι, ἄσπονδοι,
διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι,
4 προδόται, προπετεῖς, τετυφωμένοι,
φιλήδονοι μᾶλλον ἢ Φιλόθεοι· 5 ἔχοντες
μόρφωσιν εὐσεβείας τὴν δὲ δύναμιν αὐτῆς
ἠρνημένοι.
Καὶ τούτους ἀποτρέπου· 6 ἐκ τούτων γάρ
εἰσιν οἱ ἐνδύοντες‡ εἰς τὰς οἰκίας καὶ
αἰχμαλωτίζοντες§ γυναικάρια* σεσωρευμένα
ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις,
7 πάντοτε μανθάνοντα καὶ μηδέποτε εἰς
ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. 8 Ὃν
τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν
Μωϋσῇ,† οὕτως καὶ οὗτοι ἀνθίστανται

---

* **3:2** οι *rell* ¦ — ℵ [5%] CP † **3:2** φιλαργυροι *rell* ¦ φυλαργυροι CP ‡ **3:6** ενδυοντες **f**[35] [20%] ¦ ενδυνοντες ℵA,C [77%] RP,HF,OC,TR,CP,NU ¦ εισδυνοντες [3%] (ενδυνω or ενδυω? The basic meaning of ενδυω is 'to enter', which over time was obscured by the statistically predominant use with reference to entering clothes (in English we speak of 'putting on' clothes), except that for this use the verb is normally in the middle voice, not the active, as here. But in the context the description of such persons, given in verses 2-5, does not agree with 'sneaking' or 'worming'—they enter openly, exuding confidence and competence. ενδυω is probably correct.) § **3:6** αιχμαλωτιζοντες **f**[35] ℵA,C [50%] OC,CP,NU ¦ αιχμαλωτευοντες [45%] RP,HF,TR ¦ αιχμαλωτευον [5%] * **3:6** γυναικαρια **f**[35] ℵA,C [85%] RP,HF,OC,CP,NU ¦ τα 1 [15%] TR † **3:8** μωυση **f**[35] [60%] RP ¦ μωυσει ℵC [30%] HF,OC,TR,CP,NU ¦ μωσει A [10%]

τῇ ἀληθείᾳ—ἄνθρωποι κατεφθαρμένοι τὸν
νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν— 9 ἀλλ᾽
οὐ προκόψουσιν ἐπὶ πλεῖον,‡ ἡ γὰρ ἄνοια
αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων
ἐγένετο.

### *"Continue in the things you have learned"*

10 Σὺ δὲ παρηκολούθηκάς§ μου τῇ
διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει,
τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ· 11 τοῖς
διωγμοῖς, τοῖς παθήμασιν οἷά μοι ἐγένετο*
ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις—
οἵους διωγμοὺς ὑπήνεγκα· καὶ ἐκ πάντων
με ἐρρύσατο ὁ Κύριος. 12 Καί, πάντες δὲ
οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ
διωχθήσονται· 13 πονηροὶ δὲ ἄνθρωποι καὶ
γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες
καὶ πλανώμενοι.
14 Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ οἷς†
ἐπιστώθης,‡ εἰδὼς παρὰ τίνος§ ἔμαθες,
15 καὶ ὅτι ἀπὸ βρέφους τὰ* Ἱερὰ Γράμματα
οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς
σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ
Ἰησοῦ. 16 Πᾶσα Γραφὴ Θεόπνευστος καὶ

---

‡ **3:9** πλειον **f**[35] ℵA,C [90%] RP,HF,OC,TR,NU ¦ πλειστον [10%] CP § **3:10** παρηκολουθηκας **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ παρηκολουθησας ℵA,C [3%] NU * **3:11** εγενετο *rell* ¦ εγενοντο A [5%] OC,CP † **3:14** οις **f**[35] [20%] ¦ — ℵA,C [80%] RP,HF,OC,TR,CP,NU ‡ **3:14** επιστωθης **f**[35] ℵA,C [87%] RP,HF,OC,TR,CP,NU ¦ επιστευθης [10%] ¦ επιστοθης [3%] § **3:14** τινος **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ τινων ℵA,C [4%] NU * **3:15** τα **f**[35] A,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ — ℵ [2%]

ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον,†
πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν
ἐν δικαιοσύνῃ, 17 ἵνα ἄρτιος ᾖ ὁ τοῦ
Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν
ἐξηρτισμένος.‡

# 4

## *Proclaim the Word!*

1 Διαμαρτύρομαι οὖν ἐγώ,* ἐνώπιον τοῦ
Θεοῦ καὶ τοῦ Κυρίου† Ἰησοῦ Χριστοῦ,‡ τοῦ
μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς, κατὰ§
τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν
αὐτοῦ· 2 Κήρυξον τὸν Λόγον· ἐπίστηθι
εὐκαίρως ἀκαίρως· ἔλεγξον, ἐπιτίμησον,
παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ καὶ
διδαχῇ. 3 Ἔσται γὰρ καιρὸς ὅτε τῆς
ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται·
ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας* ἑαυτοῖς
ἐπισωρεύσουσιν διδασκάλους κνηθόμενοι
τὴν ἀκοήν 4 —καί, ἀπὸ μὲν τῆς ἀληθείας τὴν
ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους
ἐκτραπήσονται. 5 Σὺ δὲ νῆφε ἐν πᾶσιν,

---

† **3:16** ελεγχον **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ ελεγμον ℵA,C,I [4%] NU ‡ **3:17** εξηρτισμενος *rell* ¦ εξηρτημενος [10%] ¦ εξηρτιμενος [5%] ¦ εξηρτυμενος CP[?] * **4:1** ουν εγω **f**[35] (85.9%) RP,HF,OC,TR,CP ¦ 1 (4%) ¦ 2 (1%) ¦ — ℵA,C,I (9.1%) NU † **4:1** του κυριου **f**[35] [90%] RP,HF,OC,TR ¦ 2 [3%] ¦ — ℵA,C [5%] NU ¦ 12 ημων [2%] CP ‡ **4:1** ιησου χριστου **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 21 ℵA,C [5%] NU § **4:1** κατα **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ και ℵA,C [3%] NU * **4:3** επιθυμιας τας ιδιας **f**[35] (69.8%) RP,HF,OC,TR,CP ¦ 31 ℵA,C (30.1%) NU ¦ one other reading (0.2%)

κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ,
τὴν διακονίαν σου πληροφόρησον.

*Timothy will no longer have Paul to help him*

6 Ἐγὼ γὰρ ἤδη σπένδομαι καὶ ὁ καιρὸς τῆς
ἐμῆς ἀναλύσεως† ἐφέστηκεν. 7 Τὸν ἀγῶνα
τὸν καλὸν‡ ἠγώνισμαι, τὸν δρόμον τετέλεκα,
τὴν πίστιν τετήρηκα. 8 Λοιπὸν ἀπόκειταί μοι
ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει
μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος
Κριτής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσιν τοῖς
ἠγαπηκόσιν τὴν ἐπιφάνειαν αὐτοῦ.

# Concluding remarks

*“Please come quickly”*

9 Σπούδασον ἐλθεῖν πρός με ταχέως· 10 Δημᾶς
γάρ με ἐγκατέλιπεν,§ ἀγαπήσας τὸν νῦν
αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην—
Κρίσκης* εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν.†
11 Λουκᾶς ἐστιν μόνος μετʼ ἐμοῦ. Μᾶρκον
ἀναλαβὼν ἄγε‡ μετὰ σεαυτοῦ, ἔστιν γάρ μοι
εὔχρηστος εἰς διακονίαν. 12 Τυχικὸν δὲ
ἀπέστειλα εἰς Ἔφεσον. 13 Τὸν φελόνην§ ὃν

---

† **4:6** εμης αναλυσεως **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 2 μου אA,C [5%] NU ‡ **4:7** αγωνα τον καλον **f**[35] [96%] RP,HF,OC,TR,CP ¦ 31 אA,C [4%] NU § **4:10** εγκατελιπεν *rell* ¦ εγκατελειπεν A,C [15%] * **4:10** κρισκης **f**[35] [60%] CP ¦ κρησκης אA,C [40%] RP,HF,OC,TR,NU † **4:10** δαλματιαν *rell* ¦ δελματιαν C [8%] ¦ δερματιαν A [2%] ‡ **4:11** αγε **f**[35] אC [85%] RP,HF,OC,TR,NU ¦ αγαγε A [15%] CP § **4:13** φελονην **f**[35] אA,C [65%] RP,CP ¦ φαιλονην [29%] HF,OC,TR,NU ¦ φελωνην [5%] ¦ φαιλωνην [1%]

ἀπέλιπον* ἐν Τρῳάδι παρὰ Κάρπῳ ἐρχόμενος
φέρε—καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.
14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ
ἐνεδείξατο· ἀποδῴη† αὐτῷ ὁ Κύριος κατὰ τὰ
ἔργα αὐτοῦ· 15 ὃν καὶ σὺ φυλάσσου, λίαν γὰρ
ἀνθέστηκεν‡ τοῖς ἡμετέροις λόγοις.

*People will disappoint you*

16 Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς
μοι συμπαρεγένετο,§ ἀλλὰ πάντες με
ἐγκατέλιπον.* Μὴ αὐτοῖς λογισθείη. 17 Ὁ
δὲ Κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέν
με, ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ
καὶ ἀκούσῃ† πάντα τὰ ἔθνη. Καὶ ἐρρύσθην ἐκ
στόματος λέοντος· 18 καὶ‡ ῥύσεταί με ὁ Κύριος
ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν
βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ᾧ ἡ δόξα
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Farewell*

19 Ἄσπασαι Πρίσκαν§ καὶ Ἀκύλαν, καὶ τὸν
Ὀνησιφόρου οἶκον. 20 Ἔραστος ἔμεινεν ἐν
Κορίνθῳ, Τρόφιμον δὲ ἀπέλιπον* ἐν Μιλήτῳ

---

* **4:13** απελιπον *rell* ¦ απελειπον A,C [15%] ¦ απεστειλα [2%] † **4:14** αποδωη **f**35 [90%] RP,HF,OC,TR,CP ¦ αποδωσει אA,C [10%] NU ‡ **4:15** ανθεστηκεν **f**35 [97%] RP,HF,OC,TR,CP ¦ αντεστη אA,C [3%] NU § **4:16** συμπαρεγενετο **f**35 [96%] RP,HF,OC,TR,CP ¦ παρεγενετο אA,C [4%] NU * **4:16** εγκατελιπον *rell* ¦ εγκατελειπον A,C [15%] † **4:17** ακουση **f**35 [90%] RP,HF,OC,TR,CP ¦ ακουσωσιν אA,C [10%] NU ‡ **4:18** και **f**35 [96%] RP,HF,OC,TR,CP ¦ — אA,C [4%] NU § **4:19** πρισκαν **f**35 אA,C [85%] RP,HF,OC,TR,NU ¦ πρισκιλλαν [15%] CP * **4:20** απελιπον *rell* ¦ απελειπον C [15%]

ἀσθενοῦντα.
21 Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί σε Εὔβουλος, καὶ Πούδης καὶ Λίνος καὶ Κλαυδία καὶ οἱ ἀδελφοὶ πάντες.
22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς† μετὰ τοῦ

† **4:22** κυριος ιησους χριστος **f**[35] C [94%] RP,HF,OC,TR,CP ¦ 12 A [3%] ¦ 1 א [3%] NU

πνεύματός σου. Ἡ χάρις μεθʼ ὑμῶν. Ἀμήν.‡,§

---

‡ **4:22** αμην **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ — ℵA,C [3%] NU

§ **4:22** The citation of **f**$^{35}$ is based on thirty-six MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1247, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 2080, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 824, 1072 and 1864 are 'perfect' representative of **f**$^{35}$ in 2 Timothy, as they stand, as were the exemplars of 1503, 1075, 1865 and 2723. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception. In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A$^{27}$, supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources. I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. But I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

# Η Καινή Διαθήκη
## The Greek New Testament According to Family 35, Wilbur Pickering

Copyright © 2020 Wilbur N. Pickering

Language: Ελληνική (Greek, Ancient)

Dialect: Koine

Contributor: Dwayne Green, Robert A. Boyd

This translation is made available to you under the terms of the Creative Commons Attribution-Noncommercial-No Derivatives license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:

You include the above copyright and source information.

You do not sell this work for a profit.

You do not change any of the words or punctuation of the Scriptures.

Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

2022-10-28

---

PDF generated using Haiola and XeLaTeX on 11 Nov 2022 from source files dated 11 Nov 2022
cf64fb6f-e463-5ebb-820f-5a4a7bb37b73